UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

### Demosthenes

### Aureliae Allobrogum, 1607

Aeschinis vita, incerto autore

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

orationem Ctesiphōteam contra Demosthenem habitam recitauit. de qua cum in magna esset admiratione, ab eisque rogaretur, quo pacto in tam bona causa victus esset? respondit: Miramini vt victus sim, eò quòd illam bestiam non audistis. Bestiam enim illum vocabat, ob acerbitatem ingenij, & crudelitatem. Perhibent etiam, eum, inter docendum illic, declamationes & fictas controuersias excogitasse primùm. Sunt qui eũ discipulum faciant, vt Demetrius Phalereus ait, Socratis philosophi, deinde Platonis: vt aũt Cæcilius & Idomeneus & Hermippus aiunt, nõ audiuit eos viros discēdi gratia. Dicũt.n. eũ de stylo Platonico nihil retinere, nec diligentiã, nec puritatẽ, nec simplicitatẽ, nec concinnitatẽ, sed eius genus orationis esse quodammodo hiulcum, & artificij expers, & temerarium, quódque facile, cōtrà quàm deceat oratorem, in fœda maledicta ruat: habere tamẽ aliquid ingenij & facultatis, quale consequi liceat natura & obscura meditatione.

## AESCHINIS ORATORIS VITA,

Incerto autore.

AEschines filius Atrometi fuit literatoris, & Glaucotheæ, quæ cœtus initiabat. Puer aũt, vt aiunt, patri in ludo nauauit operam, & matri libros lectitauit: quæ quidem cũ ex tenebrosis locis ad mulieres & pueros cum impetu prodiret, Empusa fuit nominata. Nam Empusa nocturnum spectrum est. Cum verò adoleuisset, tertias in tragœdiis actitauit partes: & quia claram vocẽ habebat, scriba fuit primùm Aristophontis, deinde Eubuli. Recitandis igitur decretis & legibus eruditus, ad suggestum se contulit, & ob ingenij bonitatem, æqualibus suis præstitit. Post Philippi obitum, populo inimicus creditus, & literas ad Antipatrum contra Rempub. missitare, eáq; de causa prædia Thebana accepisse: cum reum fecisset Ctesiphontem, quòd Demosthenis coronam in theatro proclamandam esse scripsisset: non accepit quintam suffragiorum partem. Itaque ignominia notatus in Asiam discessit, atque Ephesum peruenit, sperans se ab Alexandro Athenas reducendum esse. Sed audito, regem obiisse, & inter successores dissensiones extitisse: Rhodum confugit. Vbi rogatibus Rhodiis vt dicendi artem doceret, recusauit, seque ipsum ignorare dixit. Cum porrò causas eum agere iuberet, ne id quidem voluit. quòd enim in patria victus esset, inde coniecturam cepit, in aliena terra se penitùs esse periturum. Tandem patris artem amplexus, pueros literas docuit. Demochares autem Demosthenis ex sorore nepos (si modò ei de Æschine dicenti credẽdum est) ait eum tertias apud Ischandrum actitasse partes: & cum Oenomaum, qui Pelopem persequeretur, repræsentaret, turpiter concidisse, & à Sanione chori magistro * eiectum esse. Inde igitur eum Demosthenes Oenomaum nominat, deridens apud rei gnaros: item cum Simylo & Socrate malis histrionib. in agris oberrasse ait. Inde igitur agrestis nominatus est. Fuit aũt Æschines Cothocides municeps.

A ἀναγινώσκων τὸν λόγον τὸν κατὰ Κτησιφῶντος, ὃν εἶπε κατὰ τοῦ Δημοσθένους. καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν ἐπὶ τούτῳ, καὶ ἐρωτώμενος παρ' αὐτῶν, πῶς ἐπὶ τοιούτῳ λόγῳ ἡττήθη, ἀπεκρίνατο. θαυμάζετε πῶς ἥττημαι, καθότι οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. θηρίον γὰρ αὐτὸν ἐκάλει, διὰ τὸ δεινὸν τῶν τρόπων, καὶ ἀνήμερον. λέγεται δὲ, ὅτι καὶ τὰς λεγομένας μελέτας, καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος ἐκεῖσε εὗρεν ἐν τῷ σχολάζειν. ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεὺς φησὶ, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον Πλάτωνος. ὡς δὲ Καικίλιος, καὶ Ἰδομενεὺς, καὶ Ἕρμιππος ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. φασὶ γὰρ, ὡς ὅτι οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώζει· οὔτε τὸ ἀκριβὲς, καὶ καθαρὸν, καὶ ἀπέριττον, καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πως ἐστὶν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου, καὶ ἄτεχνος μὲν, καὶ προπετὴς, καὶ εὐχερὴς ἐπὶ τὸ λοιδορεῖν B αἰσχρῶς, καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη. ἔχουσα δέ τι εὐφυὲς, καὶ εὐάγωγον, καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως, καὶ μελέτης ἀφανοῦς.

## ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ, ΑΔΗΛΟΤ.

Αἰσχίνης υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ γραμματικοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν, καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν. ταύτην δ' ἐκ σκοτεινῶν τόπων τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ὁρμωμένην, ἔμπουσαν ὀνομασθῆναι. ἐπεὶ νυκτερινὸν φάντασμα ἡ ἔμπουσα. γενόμενον δὲ μειράκιον ὑπάρχειν θελῆσαι τραγῳδίαν, ὥς τε τριταγωνιστεῖν. ὄντα δὲ λαμπρόφωνον,* γραμματεῦσαι Ἀριστοφῶντι, καὶ μετὰ τοῦτον Εὐβούλῳ. C καὶ ἀναγινώσκοντα, ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον, ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν, ὄντα εὐφυᾶ. μετὰ δὲ τὴν Φιλίππου τελευτὴν, δόξαντα πολεμεῖν τῷ δήμῳ, καὶ διαπέμπεσθαι τῷ Ἀντιπάτρῳ κατὰ τῆς πόλεως, διὰ τοῦτό τε εἰληφέναι ἐν Θήβαις κτήματα, εὐθύνοντα Κτησιφῶντα, ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι * στεφάνῳ, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων. ἀτιμωθέντα δὲ ἀπᾶραι εἰς τὴν Ἀσίαν, καὶ ἐλθεῖν εἰς Ἔφεσον, οἰηθέντα κατάξειν αὐτὸν εἰς Ἀθήνας Ἀλέξανδρον. πυθόμενος δὲ τεθνηκέναι τὸν βασιλέα, καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων, καταφυγεῖν εἰς Ῥόδον. ἔνθα δεομένων αὐτοῦ Ῥοδίων, τὴν τέχνην διδάξαι τὴν ῥητορικὴν, ἀρνήσασθαι, εἰπόντα μηδὲ αὐτὸν εἰδέναι. δίκας γοῦν κελευόντων εἰπεῖν, οὐδὲ τοῦτο θελῆσαι, συμβαλόντα, ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς, κομιδῇ γ' ἂν ἐπὶ γῆς ἀλλοτρίας * διαφθαρῆναι. τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην, καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης δὲ ὁ ἀδελφιδοῦς Δημοσθένους εἰ ἄρα τις πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην καὶ ὑποκρινόμενον Οἰνόμαον, διώκοντα Πέλοπα, αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου. ἔνθεν δ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων. καὶ μετὰ Σωκράτους καὶ Σιμύλου τῶν κακῶν ὑποκριτῶν ἀλᾶσθαι κατ' ἀγρούς. εἴη ἂν οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος. ἦν δὲ τὸν δῆμον ὁ Αἰσχίνης Κοθωκίδης.

ΑΠΟΛ-

# ΑΠΟΛΛΩΝΙΟΥ
## ΕΙΣ ΑΙΣΧΙΝΗΝ
### ἐξήγησις.

Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν ἀθηναῖος, τὸν δὲ δῆμον κοθωκίδης, υἱὸς δὲ ἀτρομήτου, ὅν φασι πρότερον τρόμητα καλούμενον, ὕστερον συλλαβῆς προστεθείσης ἀντὶ τρόμητος ἀτρόμητον προσαγορευθῆναι. γεγονέναι δὲ, τὸ κατ᾽ ἀρχὰς δοῦλον, καὶ παῖδας ἔχοντα, διδάσκειν γράμματα πρὸς τῷ θησείῳ, καὶ τῷ τοῦ ἰατροῦ ἡρῴῳ. εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ αἰσχίνης γλαυκοθέας, ἢ, ὥς ἔνιοι, γλαυκίδος· ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι, καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ καλαμίτου ἡρῴῳ. ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης, ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. γεγονὼς δὲ ἐκ τούτων ὁ αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, ἀφοβήτου καὶ φιλοχάρους, τοῦ τὰς ἀλαβαστροθήκας καὶ τὰ τύμπανα γράφοντος, ταῖς μὲν οὖν τῷ πατρὶ ὑπηρέτει, γράμματα διδάσκοντι. ἀνὴρ δὲ γενόμενος, τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ ἀφοβήτῳ. ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον. ἔπειτα ἀποστὰς τούτου, τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ ἐν κολυττῷ ποτὲ οἰνόμαον ὑποκρινόμενος, κατέπεσε. μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ, ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ φιλίππου καὶ ἀλεξάνδρου πολιτείαν ἐπαγγέλλεσθαι, κοινωσάμενος φιλοκράτει τὰ πράγματα. καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν, ἀράσθαι πολιτείαν πρὸς τοὺς περὶ δημοσθένην, τοὺς τἀναντία τοῖς φιλίππου πράγμασι καὶ ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον. ᾑρημένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν δήλῳ ἱεροῦ, πρὸς τὴν γενομένην πρὸς δηλίους ἀθηναίων διαδικασίαν. οὐκ ἐπέτρεπεν ἡ ἐν ἀρείῳ πάγῳ βουλή. ἀλλ᾽ ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῶν ἀθηναίων, ὑπερίδῃ λέγειν προσέταξεν. φασὶ μέν τοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι πλάτωνός τε, καὶ σωκράτους ψευδόμενοι. ἦν δὲ καὶ ἕτερος ῥήτωρ αἰσχίνης ἐλευσίνιος, ὅς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δὲ ὁ αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ περὶ παραπρεσβείας φησίν. ὡς ὁ πατὴρ αὐτοῦ ἀτρόμητος, φρατρίας μὲν ἦν καὶ γένους τῶν ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς ἀθηνᾶς τῆς πολιάδος ἐστὶν ἱέρεια. νέος δὲ ὢν ἤθλει. καὶ χρόνῳ ὕστερον, τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ, ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα. καὶ στρατευόμενος, * εὐνοίας καὶ ἀριστείων ἠξιώθη. καὶ ἐν κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας, συγκατήγαγε τὸν δῆμον. βιῶναι δὲ ἀναμαρτήτως. εἶναι δὲ αὐτὸν ἐτῶν ἐννενηκοντατεσσάρων. φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τὸν δὲ ἀδελφὸν αὐτοῦ φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν, καὶ μετὰ ἰφικράτους ἐστρατεῦσθαι, καὶ συνεχῶς στρατηγεῖν. ἀφόβητον δὲ τὸν νεώτατον αὐτοῦ ἀδελφὸν, πεπρεσβευκέναι μὲν ὡς βασιλέα, ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον, καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι.

# APOLLINII IN ÆSCHINEM ENARRATIO.

AEschines orator, genere fuit Atheniensis, municeps Cothocides, filius Atrometi, quem aiũt principiò Trometum dictum, pòst adiecta syllaba Atrometum esse nominatum: ac initiò fuisse seruum, & literas docuisse pueros ad Thesei fanum, & herois medici, ac tandem fraude in ciuium album esse inscriptum. Matrẽ habuit Æschines Glaucotheam, aut, vt quidam tradunt, Glaucidem, quę prima ætate quęstum fecisse corpore fertur, in taberna sedens ad Calamitę ędẽ. Tãdẽ eo quęstu relicto, ad initiãdos & lustrandos quoslibet se contulisse. His igitur parentibus natus Æschines, cum duobus fratribus Aphobeto & Philochare, qui capsulas alabastrorũ & tympana pingebat, in pueritia patri literas docenti nauauit operã: vir factus magistratuum scriba fuit ad tempus, cum fratre Aphobeto. Quo postea, quia turpe id munus habebatur, relicto, tertias apud tragœdos partes actitauit, atque aliquando cum in Colytto Oenomaum repræsentaret, concidit. Postea progressus ætate, ad gerendam Rempublicam & negocia publica administranda se contulit. Appparet autem, cum Philippi & Alexandri partes defendisse, rebus cum Philocrate communicatis: & illis gratificandi atque adulandi studio aduersatum esse Demostheni, qui Philippum & Alexandrum oppugnabat. Sunt autem, cùm multa alia signa, vnde colligitur eum in gerenda Republica regibus esse gratificatum, tum illud omnium euidentissimum. Nam cum eum populus aliquando Delij templi patronum delegisset, in ea controuersia quam Athenienses cum Deliis habebant: non passus est id fieri Areopagiticus senatus: sed repulso eo, vt qui populo Atheniensi malè cuperet, Hyperidi causam eã demandauit. Falso autem quidam Socratis & Platonis fuisse auditorem tradunt. Fuit & alius orator Æschines Eleusinius, qui artem dicendi conscripsisse fertur. Dicitur etiam Æschines amator fuisse. Ipse autem de suo genere in oratione falsæ legationis ait, patrem suum Atrometum, ex curia & familia fuisse Eteobutadarum, vnde vrbanæ Mineruæ sacrificula delegi soleat: qui dum esset adolescens, pugilem egerit, & aliquanto pòst, bello amissa re familiari, à triginta tyrannis eiectus, in militia * fauorem & præmia sit consecutus virtutis ergò. atq; post fugam Corinthi versatus, populi reducendi fuerit adiutor, ac vitã egerit criminis expertẽ, cum annũ ętatis agat quartum & nonagesimum. Cognatos item suos maternos esse ingenuos. Fratrem porrò suum Philocharem in gymnasiis versatum esse, & cũ Iphicrate militasse, & cõtinẽter cũ imperio fuisse. Aphobetum autem fratrem suum natu minimum, legationem apud regem Persarũ è Reipub. dignitate obiuisse: & in vrbanorũ vectigalium quæstura, publicos reditus rectè curasse.

A De seipso ait, se puericiam egressum, Atticæ ditionis custodem fuisse biennium. adolescentes enim edicto legis cuiusdam, armati regionem circumibant. Militasse item prima expeditione, quæ in * Partibus nominetur, & cum Alcibiade atque conducticiis militibus * classem Philuntiam esse comitatum. Cum verò circa Nemeæam fossam periculum incidisset, se laudabiliter pugnasse: neque vlli expeditioni, quę per successioné mitteretur, defuisse, & ad Mantinæã strenuè se gessisse, atq. in Tamynis inter delectos, ibiq; coronam meruisse. Obiit Æschines, sublatus ab Antipatro, euersa republica: quo tempore Demosthenes etiã cum ceteris deditus est, anno ætatis quinto & septuagesimo. Cũ aũt tres scriptę sint ab eo orationes, eæq; publicæ (nã Deliaca adulterina est) eã quæ cõtra Ctesiphontem est, postremò scriptã esse inuenimus, Alexandri nempe temporibus. Reliquæ autem, cum circa eadem tempora sint habitæ, ordine prior est Timarchea. Nam in oratione falsæ legationis, quæ illam secuta est, huius mentionem facit Æschines. B

## EX SVIDA.

Æschines Atheniẽsis orator, filius fuit Atrometi & Leucotheæ, Alcidamantis Eleatę in arte dicendi discipulus. Quidam etiam seruitutem seruisse parentes eius scripserunt. Cum autem causæ cuiusdam aduocatus iudices corrupisset, vnà cum eis in carcerem coniectus, aconito hausto interiit: eorúmque res familiaris, vt orborum, publicata est. Veruntamen habitauit Rhodi, ac docuit victus à Demosthene in causa de Corona. Primus autem diuinitus dicere dictus est, eo quòd ex tempore diceret, tanquam numine afflatus.

## ALITER EX EODEM.

Æschines Atheniẽsis, Atrometi literatoris & Leutheæ sacrificulę filius, histrio fuit primùm, deinde scriba, pòst orator, & proditor Cersobleptis ac Phocensium: qui cum falsæ rogationis reum fecisset Ctesiphontem, à quo corona Demostheni decreta fuerat, victus Rhodum concessit, ibiq; docuit.

A περὶ δὲ ἑαυτοῦ φησὶν, ὡς ἐκ παίδων ἀπαλλαγεὶς, περίπολος τῆς ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν. οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα νόμου. ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην. καὶ συμπαραπέμπων μετὰ ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς φλιοῦντα * πομπὴν. κινδύνου δὲ γενομένου περὶ τὴν καλουμένην νεμεάδα χαράδραν, ἀξιεπαίνως ἐμαχέσατο. καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε. καὶ ἐν μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δὲ αἰσχίνης, ἀναιρεθεὶς ὑπὸ ἀντιπάτρου, καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ δημοσθένην ἐξεδόθησαν. βεβιωκὼς ἔτη οε'. τριῶν δὲ ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων (ὁ γὰρ δηλιακὸς νόθος ἐστὶ) τὸν μὲν κατὰ κτησιφῶντος, εὑρίσκομεν τελευταῖον γεγραμμένον. B ἐπὶ γὰρ τῶν ἀλεξάνδρου χρόνων γέγραπται. τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους, πρότερός ἐστι τῇ τάξει ὁ κατὰ τιμάρχου. ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς παραπρεσβείας μέμνηται ὁ αἰσχίνης τούτου τοῦ λόγου.

## ΚΑΤΑ ΣΟΥΙΔΑΝ.

αἰσχίνης, ἀθηναῖος ῥήτωρ, υἱὸς ἀτρομήτου καὶ λευκοθέας, μαθητὴς κατὰ τὴν ῥητορικὴν ἀλκιδάμαντος τοῦ ἐλεάτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ * συνηγορῶν ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστὰς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ, καὶ κώνειον πιὼν, ἀπέθανε. καὶ τὰ πράγματα αὐτοῦ ὡς ἀτέκνων * ἐδημοσιώθη. ᾤκησε μέν τοι ἐν ῥόδῳ καὶ ἐπαίδευσεν, ἡττηθεὶς ὑπὸ δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων, τὸ θείως λέγειν * ἤκουσε διὰ τὸ σχεδιάζειν, ὡς ἐνθουσιῶν.

## ΑΛΛΩΣ.

αἰσχίνης ἀθηναῖος, ἀτρομήτου γραμματοδιδασκάλου, καὶ λευκοθέας τῆς τελεσρίας, αὐτὸς ὑποκριτής· εἶτα γραμματεὺς, εἶτα ῥήτωρ, προδότης, ὁ κερσοβλέπτην καὶ φωκέας προδούς. γραψάμενος δὲ παρανόμων κτησιφῶντα, στεφανοῦν γράψαντα δημοσθένην, ἡττήθη, καὶ ἔφυγεν εἰς ῥόδον, καὶ ἐπαίδευσεν ἐκεῖ.

TYPO